Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: jry-aa

*Φανόδικος* · Phanodicus

# Fragments on Delian Legends

*Ἀποσπάσματα περὶ τῶν Δηλίων Μύθων*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

t1-5b ΔΗΛΙΑΚΑ. Schol.

1 ad Apollon. Rhod. I, 211: [ Ζήτης καὶ Καλαΐς τ ε ] Τούτους ἐκ διαφόρων τόπων συμπλεῦσαι τοῖς Ἀργοναύταις φασίν. Οἱ μὲν γὰρ ἐκ Θρᾴκης, ὡς Ἀπολλώνιος, Ἡρόδωρος δὲ ἐκ Δαυλίδος· Δοῦρις δὲ ἐξ Ὑπερβορέων. Καταλέγει δὲ τούτους καὶ Ἀντίμαχος. Φανόδικος δὲ ἐν α′ Δηλιακῶν ἐξ Ὑπερβορέων φησὶν αὐτοὺς ἐλθεῖν ἐπὶ τὸν πλοῦν. Idem I, 419: Περὶ τῆς Ὀρτυγίας Φανόδικος ἐν τοῖς Δηλιακοῖς ἱστόρηκεν. [5]

2 Καὶ Νίκανδρος ἐν τρίτῃ Αἰτωλικῶν, ἐκ τῆς ἐν Αἰτωλίᾳ Ὀρτυγίας φησὶ τὴν Δῆλον ὀνομασθῆναι, γράφων οὕτως Οἱ δ’ ἐξ Ὀρτυγίης Τιτηνίδος ὁρμηθέντες. Servius ad Virgil. [5]

3 Aen. VI, 14: Phanodicus Deliacon * Daedalum propter supra dictas causas fugientem navem conscendisse, et quum imminerent qui eum sequebantur, intendisse pallium ad adjuvandum ventos et sic evasisse. Illos vero qui insequebantur reversos nuntiasse pinnis illum evasisse. Diog. [5]

4 L. I, 31: Φανόδικος δὲ περὶ τὴν Ἀθηναίων θάλασσαν εὑρεθῆναι, καὶ ἀνενεχθέντα εἰς ἄστυ, γενομένης ἐκκλησίας, Βίαντι πεμφθῆναι· διὰ τί δὲ, ἐν τῷ περὶ Βίαντος λέξομεν. Idem I, 82: Φανόδικος δὲ κόρας αἰχμαλώτους λυτρωσάμενον Μεσσηνίας θρέψαι τε ὡς θυγατέρας καὶ προῖκας ἐπιδοῦναι καὶ εἰς τὴν Μεσσήνην ἀποστεῖλαι τοῖς πατράσιν αὐτῶν.

5a Χρόνῳ δὲ ἐν ταῖς Ἀθήναις, ὡς προείρηται, τοῦ τρίποδος εὑρεθέντος ὑπὸ τῶν ἁλιέων, τοῦ χαλκοῦ, ἐπιγραφὴν ἔχοντος «τῷ σοφῷ,» Σάτυρος μέν φησι παρελθεῖν τὰς κόρας—οἱ δὲ τὸν πατέρα αὐτῶν, ὡς καὶ Φανόδικος—εἰς τὴν ἐκκλησίαν, καὶ εἰπεῖν τὸν Βίαντα σοφὸν, διηγησαμένας τὰ καθ’ ἑαυτάς. Καὶ ἀπεστάλη ὁ τρίπους· καὶ ὁ Βίας ἰδὼν ἔφη τὸν Ἀπόλλωνα σοφὸν εἶναι, οὐδὲ προσήκατο. Οἱ δὲ λέγουσιν ἐν Θήβαις τῷ Ἡρακλεῖ αὐτὸν ἀναθεῖναι, ἐπεὶ ἀπόγονος ἦν Θηβαίων ἀποικίαν εἰς Πριήνην στειλάντων, ὥσπερ καὶ Φανόδικός φησι. Inscriptio marmoris Sigeensis: Φανοδίκου εἰμὶ τοῦ Ἑρμοκράτους τοῦ Προκοννησίου· κἀγὼ κρατῆρα κἀπίστατον καὶ ἠθμὸν ἐς πρυτανεῖον ἔδωκα μνῆμα Σιγειεῦσι· ἐὰν δέ τι πάσχω, μελεδαίνειν με, ὦ Σιγειῆς. [5]

5b Καί μ’ ἐπόεισεν Αἴσωπος καὶ ἀδελφοί.

Eulogikon public reading copy · View original HTML at eulogikon.org